Δ′ τῶν υἷας ἀερσιμάχ̣[ους,
ταχύν τ᾽ Ἀχιλλέα
εὐειδέος τ᾽ Ἐριβοίας
παῖδ᾽ ὑπέρθυμον βοά[σω
Αἴαντα σακεσφόρον ἥ[ρω,
ὅστ᾽ ἐπὶ π'ρύμναι σταθ[εὶς
ἔσχεν θρασυκάρδιον [ὁρ-
μαίνοντα ν[ᾶας
θεσπεσίωι πυ̣[ρὶ καῦσαι
Ἕκτορα χαλ[κεομίτ'ρα]ν̣,
ὁππότ̣ε Πη̣[λεΐδας
τ̣ρα[χ]ε̣ῖ̣α̣ν̣ [Ἀτ'ρείδαισι μ]ᾶνιν
ὠρίνατ[ο, Δαρδανίδας
τ᾽ ἔλυσεν ἄ[τας·
οἳ πρὶν μὲν [πολύπυργο]ν
col 30 (26) Ἰλ]ίου θαητὸν ἄστυ
ο̣ὐ̣ λεῖπον, ἀτυζόμενοι [δέ
π̣τ̣ᾶσσον ὀξεῖαν μάχαν,
εὖτ᾽ ἐν πεδίωι κλονέων
μαίνοιτ᾽ Ἀχιλλεύς,
λαοφόνον δόρυ σείων·